eul_wid: lnq-aa

*Νουμήνιος ὁ Ἡρακλεώτης* · Numenius of Heraclea

# Fragments and Titles

*Ἀποσπάσματα καὶ Τίτλοι*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἐπική* Epic (Homeric)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 569.1 ἢ λευκὴν
book 569.2 συνόδοντα βόηκάς
book 569.3 τε τριγκούς
book 569.4 τε
book 570 ἠβαιῇ καρῖδι καὶ εἴ ποτε βεμβράδι, κείνη ζωῇ ἔπ’ ἀγρώσσοις· τάδε 〈δὴ〉 σκέψαιο δέλετρα
book 571.1 ὕκην ἢ κάλλιχθυν, ὁτὲ χρόμιν, ἄλλοτε δ’ ὀρφὸν ἢ γλαῦκον
book 571.2 περόωντα κατὰ μνία
book 571.3 σιγαλόεντα
book 572.1 ἢ σκάρον ἢ κῶθον
book 572.2 τροφίην καὶ ἀναιδέα λίην χάννους τ’ ἐγχέλυάς
book 572.3 τε καὶ ἐννυχίην πίτυνον ἢ μύας ἢ ἵππους ἠὲ γλαυκὴν κορύδυλιν.
book 573 γλαύκους ἢ ὀρφῶν ἔναλον γένος ἠὲ μελάγχρων κόσσυφον ἢ κίχλας ἁλιειδέας, ἄλλοτε δ’ ἄλλη σάργον ἐπικέλσοντα, λινοπληγέστατον ἰχθύν.
book 574.1 τοῖσί κεν ἄρμενα πάντα
book 574.2 παροπλίσσαιο δέλετρα κουρύλον ἢ πειρῆνα ἢ εἰναλίην ἔρπηλαν
book 575.1 ἄλλοτε καρχαρίην, ὁτὲ δὲ ῥόθιον
book 575.2 ψαμαθῖδα
book 576 ῥηϊδίως ἕλκοιτο καὶ αἰολίην κορακῖνον
book 577.1 ἄλλοτε δ’ αὖ πέρκας, ὁτὲ δὲ στροφάδας
book 577.2 παρὰ πέτρην
book 577.3 φυκίδας ἀλφηστήν
book 577.4 τε καὶ ἐν
book 577.5 χροιῇσιν ἐρυθρὸν
book 577.6 σκορπίον ἢ πέρκαισι καθηγητὴν μελάνουρον
book 578.1 τοῖσί κε θηρήσαιο λαβεῖν λελιημένος ἰχθὺν ἠὲ μέγαν

book 578.2 συνόδοντ’ ἢ ἀρνευτὴν ἵππουρον ἠὲ φάγρον λοφίην, ὁτὲ δ’ ἀγρόμενον

book 578.3 σκιαδῆα.

book 579.1 ἀκονίας κιγκάλους

book 579.2 τε καὶ ἀλλοπίην

book 579.3 τράχουρον

book 580.1 κανθαρίδα

book 580.2 προφανεῖσαν ὕαινάν

book 580.3 τε τρίγλην

book 580.4 τε

book 581 ἢ σπάρον ἢ ὕκας ἀγεληΐδας ἢ ἐπὶ φάγρον πέτρῃ ἀλωόμενον

book 582.1 φύλλων δ’ ὅσς’ ἄσπαρτα τά τ’ ἐρρίζωται ἀρούραις

book 582.2 χείματος ἠδ’ ὁπόταν

book 582.3 πολυάνθεμον εἶαρ ἵκηται, αὐχμηρὴν

book 582.4 σκόλυμόν

book 582.5 τε καὶ ἀγριάδα

book 582.6 σταφυλῖνον, ῥάφιν τ’ ἔμπεδον καὶ καυ〈κα〉λίδ’ ἀγροιῶτιν.

book 583.1 κεῖνο δὲ δὴ σκέπτοιο, τό κεν καὶ ἰουλίδα μάργον

book 583.2 πολλὸν ἀποτροπ〈ό〉ῳτο καὶ ἰοβόλον

book 583.3 σκολόπενδραν

book 584.1 καὶ δὲ σύ γε μνήσαιο δελείατος, ὅττι

book 584.2 παρ’ ἄκρα δήεις αἰγιαλοῖο γεώλοφα· οἱ μὲν ἴουλοι κέκληνται, μέλανες, γαιηφάγοι, ἔντερα γαίης. ἠὲ καὶ ἑρπήλας δολιχήποδας, ὁππότε πέτραι[ln_5]ἀμμώδεις κλύζωνται ἐπ’ ἄκρῃ κύματος ἀγῇ, ἔνθεν ὀρύξασθαι θέμεναί τ’ εἰς ἄγγος ἀολλεῖς.

book 585.1 ἄλλοτ’ ἐρυθρὸν κόκκυγ’ ἢ ὀλίγας

book 585.2 πεμφηρίδας, ἄλλοτε

book 585.3 σαῦρον

book 586 ἢ ψόρον ἢ σάλπας ἢ αἰγιαλῆα δράκοντα

book 587.1 τοῖσί κεν εὐμαρέως θαλάμης ἄπο μακρὸν ἀείροις

book 587.2 σκορπίον ἢ ὀρφὸν

book 587.3 περιτρηχέα· τῶν γὰρ ἐπ’ ἄκρης...

book 588 σὺ δ’ ἂν καὶ χαλκίδ’ ἐκείνην αὕτως ἀμπείραις ὀλίγην καὶ μαινίδα 〈 〉

book 590 []ὑπόχλωρόν 〈γε〉 μὲν ἕλκος κοιλαίνει, τὸ δὲ πολλὸν ἀνέδραμεν αὐτόθεν οἶδος

book 591 ῥέθεσίν γε μὲν εἴδετ’ ἔπ’ ἰχὼρ ἠερόεις, τότε δ’ αὖ μολίβῳ ἐναλίγκιον εἶδος ἀμφί ἑ κυμαίνει χάλκῃ ἴσον

book 592 κιρράς

Eulogikon public reading copy · View original HTML at eulogikon.org